πολυπόνῳ μοίρᾳ;
ὦ φίλτατ', εἰπέ, ποῦ 'στι Πολυνείκης, γέρον.
ΠΑΙ. ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας
Νιόβης Ἀδράστῳ πλησίον παραστατεῖ.
ὁρᾷς; ΑΝ. ὁρῶ δῆτ' οὐ σαφῶς, ὁρῶ δέ πως
μορφῆς τύπωμα στέρνα τ' ἐξεικασμένα.
ἀνεμώκεος εἴθε δρόμον νεφέλας
ποσὶν ἐξανύσαιμι δι' αἰθέρος
πρὸς ἐμὸν ὁμογενέτορα, περὶ δ' ὠλένας
δέρᾳ φιλτάτᾳ βάλοιμι χρόνῳ
φυγάδα μέλεον. ὡς
ὅπλοισι χρυσέοισιν ἐκπρεπής, γέρον,
ἑῴοις ὅμοια φλεγέθων βολαῖς ἀελίου.
ΠΑΙ. ἥξει δόμους τούσδ', ὥστε σ' ἐμπλῆσαι χαρᾶς,
ἔνσπονδος. ΑΝ. οὗτος δ', ὦ γεραιέ, τίς κυρεῖ,
ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;
ΠΑΙ. ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν', ὅδε·
σφάγια δ' ἅμ' αὐτῷ, γῆς φιλαίματοι ῥοαί.
ΑΝ. ὦ λιπαροζώνου θύγατερ Ἀελίου
Σελαναία, χρυσεόκυκλον φέγγος,
ὡς ἀτρεμαῖα κέντρα καὶ σώφρονα
πώλοις μεταφέρων ἰθύνει.
ποῦ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει
Καπανεύς; ΠΑΙ. ἐκεῖνος προσβάσεις τεκμαίρεται
πύργων ἄνω τε καὶ κάτω τείχη μετρῶν.
ΑΝ. ἰώ,
Νέμεσι καὶ Διὸς βαρύβρομοι βρονταί,
κεραύνιόν τε φῶς αἰθαλόεν, σύ τοι
μεγαλαγορίαν ὑπεράνορα κοιμίζεις·
ὅδ' ἐστίν, αἰχμαλώτιδας
ὃς δορὶ Θηβαίας Μυκηνηίσιν
Λερναίᾳ τε δώσειν τριαίνᾳ,

162. *μορφᾶς C* 169. *ἡλίου C* 171. *τίς πόθεν κυρεῖ* libri e v. 123. 174. *φιλαίματοι*] v. l. *φιλαιμάτου*. 180. *ἐκεῖνος προσβάσεις*] Valckenaerius, *ἐκεῖνος ἑπτὰ προσβάσεις* libri. 184. *μεγαληγορίαν* Valckenaerius, *μεγαλανορίαν* libri. *κοιμίζοις* F 186. *μυκηνηίσι* A *μυκήνεσι* B *μυκήναισι* Fc *C*